τῆς ἐκκλησίας Χριστοῦ ἀνώρθωται
καὶ ἀποκαθίσταται λαμπρῶς
πρὸς δόξαν τὴν πάτριον
τῇ σῇ χάριτι Μάρκῳ τῷ σῷ.

'Ωδὴ ς'. Τὴν θείαν ταύτην.

'Ανόμων κάρας συνέτριψας
τυράννων μισανθρώπων τῇ χάριτι
τοῦ ἐνισχύοντος
τοὺς ἐπὶ τοῦτον ἐλπίζοντας
καὶ καινοτόμων γλώσσας,
μαχαίρᾳ πνεύματος.
Γῆ πᾶσα μέλπει καὶ θάλαττα
θαυμάζει καὶ κροτεῖ τὰ θαυμάσια
τὰ σὰ καὶ τρόπαια
ἡ ἐκκλησία, καὶ χαίρουσα
τοὺς ἐναντίους πάντας
τροποῦται, πάνσοφε.
Νειλῷα ῥεῖθρα χρυσόρροα (f. 765 v.)
καὶ μέλιτος γλυκίω τὰ χεύματα
τὰ νεκταρόχυτα
τῆς θεορρήμονος γλώττης σου
ὀρθοδοξίας πᾶσι
βλύζοντα δόγματα.
'Ο ποταμὸς ὁ ἀέναος
ὁρμήμασιν εὐφραίνει τὰ πρόσωπα
τῆς θείας πόλεως,
τῆς ἐκκλησίας τὸ πλήρωμα,
ὁ θεορρήμων Μάρκος
τοῖς ὀρθοῖς δόγμασιν.

Θεοτοκίον.

Νέον παιδίον γεγέννηκας
τὸν ἄχρονον υἱόν, παναμώμητε,
πατρὸς καὶ γέγονας
τιμιωτέρα τῆς κτίσεως,
ὡς τῶν ἁπάντων κτίστην
τῇ κτίσει δείξασα.

6. συνέκοψας A.
9. τοῦτον ex τούτων corr. A.
24. ἀένναος A. B.
28. θεορρῆμον A.; item infra lin. 3, p. 212.